ac definitis iudicant, quibuscum & amor & odium,& propria vtilitas coniuncta sæpenumero est, vt non amplius possint perspicere satis id, quod verum est, sed obscuret iudicium propria iucunditas, vel molestia. Ac de aliis quidem quemadmodum dicebamus, oportet quàm paucissimis efficere dominũ disceptatorem. Verùm de re facta, aut non facta, futura, aut non futura, quæ est, aut non est, omnino disceptatoribus relinquendum iudicium est: non enim fieri potest, vt hæc legislator prouideat. Iam si hæc ita se habẽt, apparet ea, quæ sunt extra rem illos præcipere, quicunque in aliis rebus versantur, vt quid oporteat procemium, aut narrationem habere, & aliarum vnamquanq. particularum. Nihil enim in ipsis aliud tradunt, nisi quomodo disceptatorem cuiusdammodi efficiant. De artificiosa verò fide nihil demonstrant, hoc est, vnde aliquis fieri enthymematicus possit. Hac enim de caussa cùm eadem sit via, & ratio in deliberatiuis, & iudicialibus, sitq. pulcrior, ac ciuilior deliberationis traditio, quàm ea quæ de contractibus est, de illa quidem nihil dicunt: ac de litigando omnes conantur præcepta tradere: quia minus prodest ea, quæ sunt extra rem dicere in deliberatiuis, ac minus malitiosa est concio, quàm de iure disceptatio, quia res communior sit. Hic enim disceptator de propriis iudicat: vt nihil aliud opus sit, nisi demonstrare, rem ita se habere, vt ait is, qui cõsulit. In iudicialibus verò id nõ sat est: sed operę preciũ est arripere auditorẽ. De alienis enim iudicium est, vt dum se ipsos spectant, & ad gratiam audiunt, sedent illos, qui controuersantur, non autem iudicent. Itaque multis in locis, vt etiam prius dicebamus lex prohibet extra rem dicere. Ibi autem ipsi disceptatores hoc custodiunt satis. Quoniam verò apparet artificiosam methodum ad fidem pertinere, & fides demonstratio quædam est (tunc enim fidem habemus maximè, cùm demonstratum esse arbitramur) & demonstratio oratoria est enthymena, & est hoc vt simpliciter dicam, potentissimum ad faciendum fidem: & enthymema syllogismus quidam, & quæ ad syllogismum pertinent æquè omnẽ, Dialecticæ est videre, vel ipsius vniuersæ, vel partis alicuius: non est dubiũ, qui maximè hoc potest intueri, ex quibus, & quomodo fiat syllo-

A καὶ ἀφορισμένων κρίνουσι· πρὸς οὓς καὶ τὸ φιλεῖν ἤδη καὶ τὸ μισεῖν, καὶ τὸ ἴδιον συμφέρον συνήρτηται πολλάκις· ὥστε μηκέτι δύνασθαι θεωρεῖν ἱκανῶς τὸ ἀληθές, ἀλλ᾽ ἐπισκοτεῖν τῇ κρίσει τὸ ἴδιον ἡδὺ ἢ λυπηρόν. περὶ μὲν οὖν τῶν ἄλλων, ὥσπερ λέγομεν, δεῖ ὡς ἐλαχίστων ποιεῖν κύριον τὸν κριτήν· περὶ δὲ τοῦ γεγονέναι ἢ μὴ γεγονέναι, ἢ ἔσεσθαι ἢ μὴ ἔσεσθαι, ἢ εἶναι ἢ μὴ εἶναι, ἀνάγκη ἐπὶ τοῖς κρι-
B ταῖς καταλείπειν· οὐ γὰρ δυνατὸν ταῦτα τὸν νομοθέτην προϊδεῖν. εἰ δὴ ταῦθ᾽ οὕτως ἔχει, φανερὸν ὅτι τὰ ἔξω τοῦ πράγματος τεχνολογοῦσιν, ὅσοι τἆλλα διορίζουσιν, οἷον τί δεῖ τὸ προοίμιον, ἢ τὴν διήγησιν ἔχειν, καὶ τῶν ἄλλων ἕκαστον μορίων· οὐδὲν γὰρ ἐν αὐτοῖς ἄλλο πραγματεύονται, πλὴν ὅπως τὸν
C κριτὴν ποιόν τινα ποιήσωσι. περὶ δὲ τῶν ἐντέχνων πίστεων οὐδὲν δεικνύουσι· τοῦτο δ᾽ ἐστίν, ὅθεν ἄν τις γένοιτο ἐνθυμηματικός· διὰ γὰρ τοῦτο, τῆς αὐτῆς οὔσης μεθόδου περὶ τὰ δημηγορικὰ καὶ δικανικά, καὶ καλλίονος καὶ πολιτικωτέρας τῆς δημηγορικῆς πραγματείας οὔσης, ἢ τῆς περὶ τὰ συναλλάγματα,
D περὶ μὲν ἐκείνης οὐδὲν λέγουσι, περὶ δὲ τοῦ δικάζεσθαι, πάντες πειρῶνται τεχνολογεῖν, ὅτι ἧττόν ἐστι πρὸ ἔργου τὰ ἔξω τοῦ πράγματος λέγειν ἐν τοῖς δημηγορικοῖς· καὶ ἧττόν ἐστι κακοῦργον ἡ δημηγορία δικολογίας, ἀλλὰ κοινότερον· ἐνταῦθα μὲν γὰρ ὁ κριτὴς περὶ τῶν οἰκείων κρίνει· ὥστ᾽ οὐδὲν ἄλλο δεῖ, πλὴν ἀποδεῖξαι, ὅτι οὕτως ἔχει, ὥς φησιν ὁ συμβουλεύων. ἐν δὲ τοῖς δικανικοῖς, οὐχ ἱ-
E κανὸν τοῦτο, ἀλλὰ πρὸ ἔργου ἐστὶν ἀναλαβεῖν τὸν ἀκροατήν· περὶ ἀλλοτρίων γὰρ ἡ κρίσις. ὥστε, πρὸς τὸ αὑτῶν σκοπούμενοι, καὶ πρὸς χάριν ἀκροώμενοι, διδόασι τοῖς ἀμφισβητοῦσιν, ἀλλ᾽ οὐ κρίνουσι. διὸ καὶ πολλαχοῦ, ὥσπερ καὶ πρότερον εἶπον, ὁ νόμος κωλύει λέγειν ἔξω τοῦ πράγματος. ἐκεῖ δ᾽ αὐτοὶ
F οἱ κριταὶ τοῦτο τηροῦσιν ἱκανῶς. ἐπεὶ δὲ φανερόν ἐστιν, ὅτι ἡ μὲν ἔντεχνος μέθοδος, περὶ τὰς πίστεις ἐστίν· ἡ δὲ πίστις, ἀπόδειξίς τις· τότε γὰρ πιστεύομεν μάλιστα, ὅταν ἀποδεδεῖχθαι ὑπολάβωμεν· ἔστι δ᾽ ἀπόδειξις ῥητορική, ἐνθύμημα· καὶ ἔστι τοῦτο, ὡς ἁπλῶς εἰπεῖν κυριώτατον τῶν πίστεων· τὸ δὲ ἐνθύμημα, συλλογισμός τις· περὶ δὲ συλλογισμοῦ ἅπαντος, τῆς διαλεκτικῆς ἐστὶν ἰδεῖν, ἢ αὐτῆς ὅλης, ἢ μέρους τινός. δῆλον δ᾽ ὅτι ὁ μάλιστα τοῦτο δυνάμενος θεωρεῖν, ἐκ τίνων, καὶ πῶς γίνεται συλλογισμός, ὁμοίως